# 17-09- ΕΣΠΕΡΑΣ.

† Σοφίας καὶ τῶν τριῶν θυγατέρων αὐτῆς Πίστεως, Ἀγάπης καὶ Ἐλπίδος, μαρτύρων (†137).

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ργ′ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ’ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι, ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν

μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.




## ΕΤΕΡΑ.




4. Κυ ρι ε ε ε λε η σο ο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

Εἰ δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Σταυροῦ γ΄ καὶ τῶν Ἁγίων γ΄.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.




χη η η μου ως θυ μι α α α μα α
ε νω πι ο ο ον σου ε πα αρ σι ι ις
τω ων χει ει ει ρω ω ω ων μου θυ σι
ι α ε ε ε σπε ρι ι ι νη η ει σα α
α α κου σο ον μου ου Κυ υ ρι ι ε ε
Θου Κυ υ ρι ε φυ λα κην τω στο
μα τι μου και θυ υ ραν πε ρι ο χης πε
ρι τα χει λη μου
Μη εκ κλι νης την καρ δι αν μου εις λο
γους πο νη ρι ας του προ φα σι ζε σθαι
προ φα σεις εν α μαρ τι αις

Συν αν θρω ποις ερ γα ζο με ε νοις την
α νο μι αν και ου μη συν δυ α σω με
τα των ε κλε κτων αυ των

Παι δευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε ε λαι ον δε α μαρ τω λου
μη λι πα να τω την κε φα λην μου

Ο τι ε τι και η προ σευ χη μου εν
ταις ευ δο κι αις αυ των κα τε πο θη σαν ε
χο με να πε τρας οι κρι ται αυ των

Α κου σον ται τα ρη μα τα μου ο τι
η δυν θη σαν ω σει πα χος γης ερ ρα γη


ε πι της γης δι ε σκορ πι σθη τα ο στα αυ
των πα ρα τον Α δη
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο
φθαλ μοι μου ε πι σοι οι ηλ πι σα μη αν
τα νε λεις την ψυ χην μου
Φυ λα ξο ον με α πο πα γι δος ης
συ νε στη σαν το μοι και α πο σκαν δα λων
των ερ γα ζο με νων την α νο μι αν
Πε σουν ται εν αμ φι βλη στρω αυ των οι
α μα ρτω λοι κα τα μο νας ει μι ε γω ε
ως αν πα ρελ θω


Φω νη μου προς Κυ ρι ον ε κε κρα ξα
φω νη μου προς Κυ υ ρι ον ε δε η
θην
Εκ χε ω ε νω πι ον αυ του την δε
η σιν μου την θλι ψιν μου ε νω πι ον αυ του
α παγ γε λω
Εν τω εκ λει πει ειν εξ ε μου το πνευ μα
μου και συ ε γνως τας τρι βους μου
Εν ο δω ταυ τη η ε πο ρευ ο
μην ε κρυ ψαν πα γι δα μοι
Κα τε νο ουν εις τα δε ξι α α

και ε πε βλε πον και ουκ η ην ο ε πι

γι νω σκων με

Α πω λε το φυ γη η απ ε μου και ουκ

ε ε στιν ο εκ ζη τω ων την ψυ χην μου

Ε κε κρα ξα προς σε Κυ υ ρι ε ει

πα Συ ει η ελ πις μου με ρι ις μου η

εν γη ζων των

Προ σχες προς την δε η σιν μου ο ο

τι ε τα πει νω θην σφο δρα

Ρυ σαι με εκ των κα τα δι ω κον των

με ο τι ε κρα ται ω θη σαν υ περ ε με


Ε ξα γα γε εκ φυ λα κης την ψυ χην
μου του ε ξο μο λο γη σα σθαι τω ο
νο μα τι σου
Ε με υ πο με νου σι δι και οι ε ως
ου αν τα πο δως μοι
Εκ βα θε ων ε κε κρα ξα σοι Κυ ρι
ε ε Κυ ρι ε ει σα κου σον της φω νης
μου
Γε νη θη η τω τα ω τα σου προ σε χον
τα εις την φω νη ην της δε η σε ως μου

## Στιχηρὰ Προσόμοια τοῦ Σταυροῦ.
## Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ε αν α νο μι αις πα ρα τη ρη σης Κυ ρι ε Κυ ρι ε τις υ ποστησε ται ο τι πα ρα σοι ο ι λα σμος ε στιν

**Σ**ήμερον ἐξέλαμψε φωτοειδὴς ὥσπερ ἥλιος, ὁ Σταυρός σου ὁ τίμιος, Χριστὲ στηριζόμενος, ἐν Κρανίου τόπῳ, τῷ δεδοξασμένῳ· καὶ ἀνυψούμενος Σωτήρ, ἐπὶ τὸ ὄρος σου τὸ πανάγιον, δηλοῖ ἐμφαντικώτατα, ὡς δι᾽ αὐτοῦ Παντοδύναμε, τὴν ἡμῶν φύσιν ὕψωσας, οὐρανοῖς ὡς φιλάνθρωπος.

Ε νε κεν του ο νο μα τος σου υ πε μει να σε Κυ ρι ε υ πε μει νεν η ψυ χη μου εις τον λο γον σου ηλ πι

σεν η ψυ χη ημουε πι τον Κυ ριον

Ἀνήγγειλαν σήμερον, οἱ οὐρανοὶ ἀκατάληπτε, τοῖς ἀνθρώποις τὴν δόξαν σου· φαιδρῶς ἐξαστράψας γάρ, τοῦ Σταυροῦ ὁ τύπος, φέγγει ἀπροσίτῳ, τὴν μανιώδη καὶ σκληράν, τῶν θεοκτόνων γνώμην διήλεγξε· διό σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἀ πο φυ λα κης πρω ι ας με χρι νυ κτος α πο φυ λα κης πρω ι ας ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι ον

Σταυρὸς ὁ πανάγιος, τὸ ἀκατάληπτον τρόπαιον, ἀπὸ γῆς φανερούμενον, σήμερον προέρχεται, ὥσπερ κεκρυμμένος, θησαυρὸς πλουτίζων, τὴν οἰκουμένην ταῖς αὐγαῖς, τῆς παγκοσμίου αὐτοῦ χρηστότητος· διό σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

## Προσόμοια τῶν Ἁγίων.
## Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ο τι πα ρα τω Κυ ρι ω το ε
λε ος και πολ λη παρ αυ τω λυ υ τρω σις
και αυ τος λυ τρω σε ται τον Ισ ρα ηλ
εκ πα σων των α νο μι ων αυ του

Τῷ πυρὶ προσπαλαίσασα, καὶ ἀλώβητος μείνασα, θεϊκῇ δυνάμει, Πίστις πολύαθλε, ἤλεγξας πλάνην τοῦ ἄφρονος, μητρὸς παραινέσεσιν, ὑποστᾶσα ἀνδρικῶς, καὶ μαστῶν τὴν ἀφαίρεσιν, ὁ δὲ Κύριος, μαρτυρίου στεφάνῳ οὐρανόθεν ἐπιστέφει κεφαλήν σου, ξίφει τμηθεῖσαν, ἀοίδιμε.

Αι νει τε τον Κυ ρι ον παν τα τα
ε θνη ε παι νε σα τε αυ το ον παν τες οι λα
οι

Ῥαβδισμοῖς προσωμίλησας, καὶ καμίνῳ ἐμβέβλησαι, ἀβλαβὴς δὲ μείνασα θείᾳ χάριτι, ζέοντι λέβητι ῥίπτεσαι, ἐν ξύλῳ ἀνήρτησαι, ὄνυξί τε σιδηροῖς, τὸ πολύαθλον σῶμά σου καταξέεται, τῷ δὲ ξίφει τὴν κάραν ἐκτμηθεῖσα, εἰς θαλάμους οὐρανίους, Ἐλπίς, σεμνή, μεταβέβηκας.




Τῇ σοφίᾳ τῶν λόγων σου, ἀσεβεῖς κατεφίμωσας, τὴν αὐτῶν δυσσέβειαν ἀπελέγξασα· ὅθεν ἰκρίῳ ἀνήρτησαι, βουνεύροις δὲ τύπτεσαι, καὶ φλογὶ ὥς περ χρυσός, ἐν χωνίᾳ ἐμβέβλησαι, παναοίδιμε, καὶ περόνῃ τὸ σῶμα διετρήθης, καὶ τὴν κάραν ἀπετμήθης, Ἀγάπη μάρτυς πολύαθλε.

## Εἰς τὸν Ἑσπερινόν. Δόξα. Ἦχος πλ. α΄ Πα.

Δε ε Δο ο ο ξα Πα α τρι ι και αι
αι Υι υι ω και Α γι ι ω Πνευ μα α
α τι

Ε ξε ε λα αμ ψε ε ση η με ε ε
ρον η σε βα σμι ος μνη μη των σο φω τα
των πα αρ θε νων τους πι στους φαι
δρυ υ νου ου ου σα και προς πα νη γυ
ρι ι ιν ε ο ο ορ τι ι ι ι ον των
ορ θο δο ο ξω ω ων τα α α πλη η η η
θη συ να α α γου ου ου ου σα δευ τε


ου ουν φι ι λε ε ο ορ τοι α σμα τι κοι οις
ε ε εγ κω ω ω μι ι ι ι οις τας του Χρι
στου α α θλη η φο ο ο ρου ους υ μνη η
σω ω ω μεν λε ε ε γο ο ο ον τες χαι ροις
Πι ι ι στις πο λυ υ υ υ α α α α θλε
η μα στων τη ην εκ κο πην και με λων την
α φαι αι ρε ε ε σιν αν δρι κως υ υ
υ πο μει ει ει να α α α σα και του
τυ ρα αν νου ου ου το ο ο θρα α α α
σος κα τα α βα α λου ου ου ου ου σα α
χαι αι αι ροις Ελ πι ι ι ις πα να οι οι


οι οι δι ι ι ι με η τας ι ο βο ο
λους του δυσ σε βους θω πει α α ας ε ε εκ
φυ υ υ γου ου ου σα και ε αυ την θυ μα
ευ προ οσ δε ε ε κτον τω Θε ε ω ω
ω ω προ σα α α γα γου ου ου ου σα
χαι αι αι αι αι αι ροις Α γα α α πη πα
νε ε ε ευ φη η η με η τη γλωσ ση α
σε βεις κα τα πλη ξα α σα και βα σα α νοι
οις α αλ γει ει ναις ε αυ τη ην πα α α
ρα α α δου ου ου σα δι α γα α πην του
Λυ υ υ τρω του ου ου ου σου χαι αι ρε ε


τε αυ τα δε ε ε ε ελ φων τρι ι ι
ας της υ περ φω του Τρι α α δο ο ος
υ πε ε ερ μα α α α χοι και ορ θο
δο ο ξω ω ων δο ο ογ μα α α των δι α
πρυ υ σι ι ι οι κη η η ρυ υ υ υ κες
μη η παυ ση η σθε δε ο ο με ε θα πρε σβε
ε ευ ει ειν υ πε ερ η η μω ω
ω ω ω ω ω ω ω ω ω ω ω ων συν
Σο φι α μη τρι τη η η θε ο ο ο φρο
ο ο ο νι του λυ τρω θη ναι κιν δυ νων τους
εν πι στει τε λουν τας α ει την α ει

σε ε βα α στον μνη η η μην υ υ υ

μων

## Καὶ νῦν... Τῆς Ἑορτῆς. Ἦχος ὁ αὐτός.

Και αι νυ υ υν και α α ει και εις τους αι
αι ω ω ω νας των αι ω ω ω νων α α α
μην

Των προ φη τω ων αι αι αι φω ναι
το ξυ λον το α α γι ι ι ον προ κα
τη η ηγ γει ει ει ει λαν δι ου της αρ χαι
ας η λευ θε ρω ω θη η η κα τα α α ρας
της του θα να α α του ο ο Α α α δαμ
η δε κτι ι σι ις ση η με ε ρον υ ψου
με ε νου ου ου του ου ου ου ου του συ νυ


ψοι οι οι οι την φω ω νην το εκ Θε
ου ου αι αι αι του με ε ε νη πλου ου σι ι
ι ον ε ε ε λε ε ε ε ος αλλ ο
μο νο ο ος ε ε εν ε λε ε ε ε ει α
με ε τρη η η τος Δε ε ε σπο ο ο ο τα
ι λα σμος γε νου ου η η η μιν και
σω σον τα ας ψυ χας η μω ω ω ω ων

Εἴσοδος, Φῶς ἱλαρόν.

Ἦχος Δι






ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ.

Προκείμενον.
Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος πλ. δ' Νη

Ι δου δη ευ λο γει ει τε τον Κυ ρι ον παν τες οι δου ου λοι Κυ ρι ου (Δίς)

Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον. Ι δου δη ευ λο γει ει τε τον Κυ ρι ι ον παν τες οι δου ου λοι Κυ ρι ι ου ου ου ου ου ου ου

Προκείμενον.
Τῇ Δευτέρᾳ ἑσπέρας.
Ἦχος δ'.

Ἦχος Δι




Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον.



Προκείμενον.

Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος πλ. α' Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου
(Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

## Προκείμενον.

## Τῇ Τετάρτῃ ἑσπέρας.

### Ἦχος πλ. δ' Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον
με και εν τη δυ να μει σου κρι νει ει ει εις
με (Δίς)

Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι
σου σω σον με και εν τη δυ να μει σου κρι
νει ει εις με ε ε

## Προκείμενον.
## Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος λ π Βου

Η βο η θει α α μου πα ρα Κυ ρι
ου του ποι η σαν τος τον ου ρα νο ον και
την γην (Δίς)

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα
Κυ ρι ου του ποι η σαν τος τον ου ρα
νο ον και την γη η ην

Προκείμενον.
Τῇ Παρασκευῇ ἑσπέρας.

Ἦχος Βαρὺς

Ο Θε ος αν τι λη πτωρ μου ει το ε

λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ

μου ει ει το ε λε ο ος σου προ φθα α σει με ε

ε

Εἶτα τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν· τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ ἀκουσάτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ἔτι ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ἐκ τῶν χειρῶν μου ὁ ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξεν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήνουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψομαι τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε

δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε, ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ

ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς

τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ

Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ

παραθώμεθα.

Σοί, Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων

πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

## Εἰς τὴν Λιτήν, Στιχηρὸν Ἰδιόμελον.

### Ἦχος πλ. α΄ Πα

Ἡ προσηγορία σου σαφῶς, τῇ πολιτείᾳ, θεόφρον, κεκόσμηται· τῷ τῆς σοφίας γὰρ ἔρωτι πᾶσαν τὴν ζωήν σου διανύσασα, ἔνδοξε Σοφία, ταῖς θείαις διέλαμψας χάρισι. Ὅθεν καὶ τῷ τάφῳ τῶν τριῶν σοι φιλτάτων τριήμερον ἐπιμείνασα, τὴν ψυχὴν ὡς ἐπόθεις, τῷ Κυρίῳ παρέθεσο, εἰς οὐρανίους θαλάμους μετ᾽ αὐτῶν συνεισελθοῦσα. Παρρησίαν οὖν ἔχουσα πρὸς Θεόν, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.




α εν δο ξε ε Σο ο φι α ταις θει αις δι
ε ε λα αμ ψας χα α α α ρι ι ι ι σι
ο θεν και τω τα φω των τρι ων σοι οι φι ιλ τα
α α των τρι η η με ε ρο ον ε πι μει ει
να α σα την ψυ χη ην ω ω ω ως ε πο ο ο
θεις τω Κυ ρι ι ι ω ω πα ρε ε θε ε
ε σο εις ου ρα νι ι ι ι ου ους θα α
λα α μους με ε ετ α αυ τω ω ων συ νει
ει σελ θου ου ου ου σα παρ ρη σι αν ουν
ε ε ε χου σα προς Θε ε ον ε κτε νως ι
κε ε ε ε τε ε ε ευ ε ε υ περ τω


ων ψυ χω ω ω ω ων η η η η μω ω ω
ω ω ω ω ω ω ων

## Πλαγίου Τετάρτου.

Ἦχος Νη






Ἦχος πλ. δ' Ἐναρμόνιος




Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

## Εἰς τὴν Ἀρτοκλασίαν.

### Ἐπιλογές παρά διαφόρων Διδασκάλων




## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ. Α΄



## Θεοτόκε Παρθένε.

Ἦχος πλ. α' Κε



των ων ψυ υ χω ω ων η η η η μω ω

ω ων

Πλου σι οι ε πτω χευ σαν και ε πει

να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον

ουκ ε λατ τω ω θη σον ται παν το ος

α γα θου

Τὸ τέλος τοῦ τρίτου. παν το ος α γα

θου ου ου ου ου ου ου

Ἀπόστιχα.

Εἰς τὸν Στίχον Στιχηρὰ προσόμοια τῶν Ἁγίων.

Ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς.

Τῷ τῆς σοφίας φωτὶ καταυγασθεῖσαι, πανεύφημοι μάρτυρες τῶν ἀρετῶν ἡ τριάς, τὰ τῆς Σοφίας βλαστήματα καὶ τῶν παρθένων καὶ ἀθλοφόρων τὸ ἐγκαλλώπισμα· Τριάδος ὑπέρμαχοι ἐν ἡλικίᾳ σμικρῇ, παρανομοῦντα ᾐσχύνατε, καὶ παρρησίᾳ τὴν τούτου πλάνην ἐμυκτηρίσατε. Ὅθεν βασάνοις παρεδόθητε ἀλγειναῖς, ὢ σεμναὶ τρεῖς νεάνιδες, καὶ τὴν κάραν τμηθεῖσαι, θεῖον στέφος ἀνεδήσασθε.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χριστὸν ἐξ ὅλης ποθήσασαι καρδίας, καὶ τούτου τῷ ἔρωτι τρωθεῖσαι πάνσεμνοι, τῶν γεηρῶν τὴν ἀπόλαυσιν, ὡς ἐπικαίρων καὶ φθειρομένων κατεφρονήσατε, πανένδοξοι Μάρτυρες, Ἀγάπη, Πίστις, Ἐλπίς, καὶ τὰς φρονίμους ζηλώσασαι πέντε παρθένους, χοροῖς τοῖς τούτων συνηριθμήθητε, καὶ σὺν Ἀγγέλοις συγχορεύετε, μαρτυρίου στεφάνοις, κοσμούμεναι καὶ Χριστὸν δυσωπεῖτε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Τοῖς ἁγίοις τῆς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἐνδεδυμέναι Χριστοῦ τὴν πανοπλίαν, καλλίνικοι Μάρτυρες, Πίστις, Ἀγάπη, Ἐλπίς, τῶν ἀρετῶν αἱ φερώνυμοι ἐν τῷ σταδίῳ, ὡς ἄλλου πάσχοντος ἀνεκραύγαζον· Οὐ ξίφος, οὐ μάχαιρα, οὐκ ἐκκοπὴ τῶν μελῶν, οὔτε φλογῶν ἡ ἐπίτασις, ὑμᾶς χωρίσαι, θείας ἀγάπης, ὅλως ἰσχύουσιν· ὅθεν στεφάνους ἐκομίσαντο, τοὺς ἀφθάρτους, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν, τοῦ παρέχοντος πᾶσι τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

## Εἰς τὸν Στίχον. Δόξα. Ἦχος πλ. α' Πα.




ταις γαρ βα φαις ταις εξ αι αι μα τος ε αυ
τας ω ρα ι ι ι σα α α α σαι αι
τρεις ο μω ω νυ υ υ μοι των α ρε τω
ων α α α δελ φαι τω ω ραι αι ω ω
κα α αλ λει ει Χρι στω α δι α φθο ο ρω ω
ως συ νη η η φθη η η η σαν ω ω και
πρε σβευ ου ου σιν α πα α αυ στως υ πε
ε ερ η μων των εν πι ι στει ει ει και πο
ο ο θω τε λου ουν τω ων την μνη η η
μην α α αυ των

Καὶ νῦν... Ἦχος ὁ αὐτός. Τῆς Ἑορτῆς.




εν αυ τω των δυ σμε νω ων τα κε ρα α α
τα με γα α ας ει Κυ υ υ ρι ι ι
ε και θαυ μα στος εν τοις ερ γοι οις σου δο
ο ο ξα α α σοι οι οι οι οι

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεὺς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ἀπολυτίκιον.

Ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.



## Δόξα... Ἀπολυτίκιον·
## Ἦχος πλ. α΄. «Τὸν συνάναρχον Λόγον».

Ἦχος πλ. α΄ Κε

Δόξα... Ἐν ταις μαρ τυ σι λα μπεις Σο
φι α εν δο ξε Και στε φα νοις της νι κης πε
ρι κο σμει σαι λαμ προις δι ο εν υ μνοις
και ω δαις ευ φη μου μεν σε ο τι θυ γα
τρι α σε μνα τω μαρ τυ ρι ω ο δη γεις
Α γα πην Πι ι στιν Ελ πι δα μεθ ων μη παυ
ση η πρε ε σβευ ειν ε λε η θη ναι τας
ψυ χα ας η η μω ω ω ων

Καὶ νῦν...

Ἀπολυτίκιον τοῦ Σταυροῦ.

Ἦχος Πα

Καὶ νῦν..., Σω σον Κυ ρι ε τον λα
ον σου και ευ λο γη σον την κλη ρο νο
μι αν σου νι κας τοις βα σι λε ευ ι κα
τα βαρ βα α ρων δω ρου με νος και το σον
φυ λα ατ των δι α του Σταυ ρου σου πο λι
ι τε ευ μα α α α

Ἀπόλυσις.

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον (γ΄). Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ

τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.